UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Nicolai Cavssini Trecensis, E Societate Iesv, De Eloqventia Sacra Et Hvmana Libri XVI

**Caussin, Nicolas**

**Coloniae Agrippinae, 1634**

137. Hyems: Ex eodem Theophylacto.

urn:nbn:de:hbz:466:1-70090

Visual Library

*Argumentum istud copiosum est, & passim occurrit: prolixè Libanius id exequutus est in* ἔαρος ἐκφράσει, *triumphat quoque in eo genere Gregorius Nazianzen cuius ego descriptionem Latinè reddo libro decimo quarto.*

---

## R V S.

### Ex eodem Theophylacto.

### *Descriptio* CXXXVII.

Ὁ Κορύδων, εὐδαίμων ἀνὴρ, καὶ τῆς τύχης φίλος, ὡς ἔοικεν. αἱ ἄμπελοι τοῖς βότρυσιν ἄχθονται· αἱ ἀχράδες βρίθουσι, καὶ τῶν τρυγητῶν ὀρέγονται. αἱ ἐλαῖαι τῇ γῇ προσνενεύκασι, καὶ τῷ πλήθει τοὺς ἐνεγκαμένους κλάδους βιάζονται· οἱ λειμῶνες καλλίκομοι· ἡ ἅλως ταῖς καλάμαις ἐφάμιλλος αὔλαξιν. ἀλλὰ καὶ τὸ γύναιον μετὰ τῶν ἄλλων εὐφραίνει τὸν ἄνδρα. τοσοῦτοι γὰρ παῖδες αὐτῷ ὥστε καὶ Δαναὸν, καὶ Αἴγυπτον ταῖς εὐτεκνίαις νικᾶν. ἄλλος μὲν γὰρ ἔτι ὑπομάζιος, ἄλλος τῆς γαλουχείας ἐπαύσατο. ἕτεροι δὲ ἕρπουσι μήπω τῆς ὀρθῆς βαδίσεως ἀπαρξάμενοι. ἔνιοι παρατραυλίζουσι, καὶ τοὺς ὀδόντας ἀμείβουσι· ἄλλοι τῆς ἀκμῆς ἐπιβαίνουσι. καὶ ἤδη παῖδες εἶναι κεκλήρωνται· σύριγγος δίκην αὐλῶν ἡ τῆς ἡλικίας αὐτῷ τάξις συντέτακται.

Corydon homo beatus, & fortunæ amicus, vt apparet. Vites grauantur botris, pyri onustæ sunt, & vindemiatores postulant, oliuæ ad terram inclinant, & præ multitudine ferentes ramos onerant: prata comis luxuriant; area paleis æqualis est sulcis. Sed & vxorcula cum reliquis hominem oblectat, tot enim sunt ei liberi, vt etiam AEgyptum, & Danaum, liberorum felicitate superet: alius enim adhuc mammellis adhæret, alius iam lactere desijt, cæteri repunt, qui nondum rectè gradi cœperunt: quidam balbutiunt, & dentes efferunt: reliqui ad vigorem ætatis accedunt, & iam adolescentiam grandiorem sortiti sunt: ad modum distinctionum tibiæ, series ætatis est ei composita.

---

## H Y E M S.

### Ex eodem Theophylacto.

### *Descriptio* CXXXVIII.

Ἀπῆλθε τὸ μετόπωρον, καὶ ὁ χειμὼν ἀπήντα γῇ. ἡ δὲ θάλαττα τὰς γαληναίας σπονδὰς διελύσατο, οἱ πλωτῆρες τοὺς λιμένας ὡς σωτῆρας ὄντας ἠσπάζοντο, καὶ ὁ γεωργὸς ἐπὶ τὴν ἑαυτοῦ ἀλέαν καταπέφευγε, καὶ ὁ μύρμηξ ἐν ταῖς λαγόσι τῆς γῆς, καὶ τοὺς πόνους ἔχει ἑστίασιν ἐπιτήδειον.

PRæterit Autumnus, & iam hyems terræ ingruit; mare tranquillitatis fœdera rupit: nauigantes portus, quasi sospitatores amplectuntur: & rusticus ad focum confugit, & formica in cauernis terræ suis laboribus parto victu fruitur.